ἀδιάχυτα ὄντα ὑπὸ τῶν δύο κοιλιῶν, ταῦτα φαρμακά ἐστιν· ὅταν γὰρ εἰς τὴν κοιλίαν εἰσέλθωσι καὶ διαχυθῶσι, φέρονται καθ' οἵπερ ἡ τροφὴ πόρους εἰς τὰς φλέβας. οὐ πεφθέντα δέ, ἀλλὰ κρατήσαντα, ἐκπίπτει φέροντα [τὰ] ἐμπόδια αὐτοῖς· καὶ καλεῖται τοῦτο κάθαρσις. χαλκὸς δὲ καὶ ἄργυρος καὶ τὰ τοιαῦτα, ἄπεπτα μέν ἐστιν ὑπὸ τῆς τῶν ζώων θερμότητος, ἀλλ' οὐκ εὐδιάχυτα ταῖς κοιλίαις. ἔλαιον δὲ καὶ μέλι καὶ γάλα, καὶ τὰ τοιαῦτα τῆς τροφῆς, καθαίρει, ἀλλ' οὐ τῷ ποιῷ, ἀλλὰ τῷ ποσῷ. ὅταν γὰρ διὰ πλῆθος ἄπεπτα γένηται, τότε καὶ καθαίρει, εἴπερ καθαίρῃ. διὰ δύο γὰρ αἰτίας ἄπεπτά ἐστιν, διὰ τὸ ποιὰ αὐτὰ εἶναι, ἢ διὰ τὸ ποσά. διόπερ οὐ φαρμακόν ἐστιν οὐδὲν τῶν εἰρημένων. οὐδὲ γὰρ διὰ δύναμιν καθαίρει. στρυφνότης δὲ καὶ πικρότης συμβέβηκε τοῖς φαρμάκοις, καὶ δυσωδία, τῷ ἐναντίον εἶναι τῇ τροφῇ τὸ φάρμακον. τὸ μὲν γάρ, πεφθὲν ὑπὸ τῆς φύσεως, τοῦτο προσφύεται τοῖς σώμασι, καὶ καλεῖται τροφή· τὸ δέ, μὴ πεφυκὸς κρατεῖσθαι, εἰσὸν δὲ εἰς τὰς φλέβας, καὶ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος ταράττον· αὕτη δὲ φαρμάκου φύσις ἐστίν.

μγ Διὰ τί τὸ μὲν πέπερι, πολὺ μὲν ὄν, τὴν κύστιν λύει· ὀλίγον δέ, τὴν κοιλίαν; ἡ δὲ σκαμμωνία, πολλὴ οὖσα, τὴν κοιλίαν λύει· ὀλίγη δὲ καὶ παλαιά, τὴν κύστιν; ἢ διότι ἑκάτερον ἑκατέρας ἐστὶ κινητικωτέρα; τὸ μὲν γὰρ πέπερι οὐρητικόν ἐστιν· ἡ δὲ σκαμμωνία, κατωρετικόν. τὸ μὲν οὖν πέπερι, πολὺ μὲν ὄν, φέρεται εἰς τὴν κύστιν, καὶ οὐ διαχεῖται ἐν τῇ κοιλίᾳ· ὀλίγον δὲ ὄν, κρατηθὲν, διαδύει, καὶ γίνεται φάρμακον αὐτῆς. ἡ δὲ σκαμμωνία, πολλὴ μὲν οὖσα, εἰς τοῦτο κρατεῖται, ὥστε διαχυθῆναι· διαχυθεῖσα δὲ γίνεται φάρμακον, διὰ τὴν εἰρημένην ἐν τοῖς ἀνωτέρω αἰτίαν. ὀλίγη δὲ οὖσα, μετὰ τοῦ ποτοῦ ἀναπίνεται εἰς πόρους, καὶ ταχύ, πρὶν ταράξαι, καταφέρεται εἰς τὴν κύστιν, καὶ ἐκεῖ τῇ αὐτῆς δυνάμει, ἀπάγει τὰ περιττώματα, καὶ τὰ συντήγματα ὅσα ἐπιπολῆς ἐστιν, ἡ δὲ πολλή, ὥσπερ εἴρηται, διὰ τὴν ἰσχὺν πολὺν χρόνον ἐμμείνασα, κατάγει πολλὴν κάθαρσιν καὶ γεώδη.

A sed etiam quæ insunt naturæ intima medicamento scilicet vehementiori epoto, aut copiosiori, quàm natura patiatur, tam ea ipsa quàm quæ excrescentia adfuerint, in ventriculum deducunt: hîc verò semore excrementa perturbant, flatúmque excitant multum, qui obsistens, vexánsque, demum vomitum mouet. Alia quòd natura frigida sunt, deorsum versus pondere suo labũtur, etiam prius, quàm quicquam B vel afficiantur, vel agant, ac inde proficiscentia, idem actitant quod superiora: vbi enim per adita foramina illinc ascenderunt, atque materiam agitarunt, eodem tramite secum, quæ corripuerint, excrementa, colliquamentáque deducunt: at genus medicamenti, quod qualitatis vtriusque particeps, mistúmque ex calido, frigidóque est, hoc ob eam vtranque facultatem rem potest vtráque conficere. Hinc C & medici mistis cibi generibus sæpe medicinas componunt. 43 Cur medicamenta purgare valeant, cùm alia pleraque amariora, cæterísque eiusmodi qualitatibus insigniora id facere nequeant? An quia non ob eiusmodi vires purgandi obtinent facultatem, sed quia concoqui nequeunt: etenim quæ ob excessum caliditatis, aut frigiditatis, quanuis exiguo corpore incoctilia sint, aptáque vincere, non D vinci ab animantium calore, resoluíque eadem facilè à ventre vtrolibet possint, hæc medicamenta habentur. Vbi enim ventrem adierunt, resolutáque sunt, statim ad venas per easdem feruntur semitas, quibus permeat cibus: mox cùm nihilo concoqui potuerunt, sed victrice persstiterint potentia, relabuntur, & quæ sibi obsistunt, secum detrahunt: quæ res purgatio vocitatur. Æs verò, argentum, cæteráque generis eiusdem, etsi concoqui à co- E lore animalium non possunt, sed resolui à ventribus nequeunt. Oleum, mel, lac, cæteríque eiusmodi cibi, purgandi quidem vim obtinent, sed quantitatis, non qualitatis ratione: vbi enim ob nimiam sui copiam concoqui minimè potuerunt, tum purgant, si quando id facere possunt. Duabus enim illis de causis aliquid concoqui nequeat, aut quia generis peruicacis est, aut quia modum excesserit. Quamobrem F nihil ex prædictis medicamentũ est, quippe cùm non ob aliquam sui facultatem purgare valeat. Acerbitas autem, acor, malúsque odor medicamenta comitantur, eò quòd genus medicamentorum cibo contrarium est. Quod enim concoctũ à natura accessit, id corporib. adhærescit, alimentúmq. appellatur: quod autẽ conuinci, domarîq. minimè possit, sed venas ingressum per excessum caliditatis, frigiditatísve suæ perturbet, hoc naturã sanè obtinet medicamenti.